Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

VI. De Gainae Gotthi Tyrannide, & de tumultu quem Constantinopoli excitavit, deque ejus nece.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

πεῖν, ὅτι τὸν ἀτυχῆσαντα οὐ μόνον οὐκ ἠλέει, ἀλλ' ἐκ τοῦ ἐναντίου καὶ ἤλεγχεν· Εὐτρόπιον μὲν οὖν τότε τὴν ὕπατον ἀξίαν ἐγχειρίζοντα, διά τινα πλάσματα ὁ βασιλεὺς τὴν κεφαλὴν ἀποτμηθῆναι ἐκέλευσεν· ἐκ δὲ τοῦ καταλόγου τῶν ὑπάτων περιῃρέθη τὸ ὄνομα, καὶ μόνου τοῦ συνυπατεύσαντος Θεοδώρου ἐγγέγραπται· λόγος δὲ, ὅτι ὁ ἐπίσκοπος Ἰωάννης καὶ Γαϊνᾶν τὸν τηνικαῦτα στρατηλάτην, τῇ συνήθει παῤῥησίᾳ χρώμενος, ἰσχυρῶς περιύβρισεν, ὅτι μίαν ἐκκλησίαν τῶν ἐντὸς τῆς πόλεως προσνεμηθῆναι τοῖς ὁμοθρήσκοις αὐτοῦ Ἀρειανοῖς παρὰ τοῦ βασιλέως αἰτῆσαι ἐτόλμησεν· ἄλλον τε δι' ἄλλην αἰτίαν τῶν κρατούντων ἐξήλεγχεν σὺν παῤῥησίᾳ πολλῇ, δι' ἣν πολλοῖς διάφορος ἦν· ὅθεν καὶ Θεόφιλος ὁ Ἀλεξανδρείας ἐπίσκοπος, εὐθὺς μετὰ τὴν χειροτονίαν ἐπενόει, ὅπως αὐτὸν καθαιρήσηται· καί τισι μὲν τῶν παρόντων περὶ τούτου κρυφαίως διελέγετο· πολλοῖς δὲ καὶ τῶν μακρὰν ἀπόντων, τὴν οἰκείαν διήγγειλε βούλησιν· ἐλύπει γὰρ αὐτὸν οὐ μόνον ἡ ὑπερβάλλουσα Ἰωάννου παῤῥησία, ἀλλ' ὅτι καὶ Ἰσίδωρον τὸν πρεσβύτερον ὑπ' αὐτῷ ταττόμενον, εἰς τὴν ἐπισκοπὴν Κωνσταντινουπόλεως προβάλλεσθαι οὐκ ἴσχυσεν· ἐν τούτοις μὲν τὰ κατὰ Ἰωάννην τὸν ἐπίσκοπον ἦν· καὶ εὐθὺς ἐν ἀρχῇ κατ' αὐτοῦ ὤδινε τὸ κακόν· καὶ τὰ μὲν περὶ αὐτοῦ προϊόντες δηλώσομεν.

A alienare, quod hominem adversâ utentem fortunâ non modo miseratus non esset, verum etiam corripuisset. Eutropium igitur Consulatum tunc gerentem, Imperator ob delicta quædam capite plecti jussit. Nomen quoque ejus ex fastis Consularibus erasum est, solius Theodori qui Collega ejus in Consulatu fuerat perscripto vocabulo. Gainam præterea tunc Magistrum militum, Joannes Episcopus solita libertate utens, contumeliose reprehendisse dicitur, propterea quod ab Imperatore petere ausus esset, ut ex Ecclesiis intra urbem B regiam positis, una Arianis ejusdem cum ipso fidei cultoribus attribueretur. Plures quoque alios ex Optimatibus, variis ex causis libere reprehendit: quæ quidem loquendi libertas multorum inimicitias ei conciliavit. Unde etiam Theophilus Alexandrinæ urbis Episcopus, statim post ejus ordinationem sollicite cœpit inquirere, qua ratione illum everteret. Et cum nonnullis quidem qui aderant, ea de re clanculo collocutus est: multis vero longius dissitis consilium suum per literas significavit. Neque enim solum immodica Ioannis libertas C ei displicebat; verum etiam quòd Isidorum Presbyterum suum ad Episcopatum Constantinopoleos promovere minime valuisset. Hoc in statu erant res Joannis Episcopi; Statimque in ipso Pontificatus exordio malum ei imminebat. Verum de rebus illius plura deinceps dicturi sumus.

## Κεφ. ϛʹ.

Περὶ τῆς τυραννίδος Γαϊνᾶ τοῦ Γότθου, καὶ τῆς ὑπ' αὐτοῦ γενομένης ταραχῆς ἐν Κωνσταντινουπόλει, καὶ περὶ τῆς ἀναιρέσεως αὐτοῦ.

Πρᾶγμα δὲ ἄξιον μνήμης ἐπὶ τῶνδε τῶν χρόνων γενόμενον διηγήσομαι, δεικνὺς ὅπως ἡ τοῦ Θεοῦ πρόνοια, τὴν πόλιν καὶ τὰ Ῥωμαίων ἐκ μεγίστου κινδύνου παραδόξοις βοηθείαις ἐῤῥύσατο· τί δέ ἐστι τοῦτο, λεκτέον· Γαϊνᾶς βάρβαρος μὲν ἦν τὸ γένος· ὑπὸ Ῥωμαίοις δὲ γενόμενος, καὶ στρατείᾳ προσομιλήσας, κατὰ βραχὺ

## Caput VI.

D *De Gainæ Gotthi tyrannide, & de tumultu quem Constantinopoli excitavit, deque ejus nece.*

Nunc vero rem memoratu dignam quæ illis ipsis temporibus accidit, commemorabo: qualiter divina providentia urbem regiam & rempublicam Romanam ex gravissimo discrimine insperatis subsidiis liberaverit. Quænam vero sit ea res, jam dicendum est. Gaina genere quidem Barbarus fuit. Qui cum ad Romanos confugisset, & militiæ nomen dedisset, paulatim ad altiorem



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

gradum evectus, tandem Magister utriusque militiæ, tam peditum scilicet quàm equitum, constitutus est. Ubi vero tantam adeptus est potestatem, nec semetipsum cognoscere, nec animum suum moderari potuit. Sed omnem, ut vulgo dicitur, lapidem movere cœpit, ut Imperium Romanum sub ditionem suam redigeret. Et Gotthorum quidem gentem universam ex sedibus suis accivit. Propinquos autem suos militaribus numeris præficiendos curavit. Porro cum Tribigildus quidam ex ejus necessariis, qui Tribunus militum erat in Phrygia, impulsu Gainæ res novas concitasset, & universam Phrygiam late vastaret, hujus negotii curam Gaina sibi committi curavit. Idque Imperator Arcadius libenti animo ei concessit, cum nihil mali suspicaretur. Gaina igitur confestim profectus est, specie quidem adversus Tribigildum; re ipsa autem ad occupandam tyrannidem: ducens secum Gotthorum Barbarorum maximam multitudinem. Qui cum Phrygiam esset ingressus, cuncta cœpit subvertere. Romanos vero gravis subito invasit trepidatio, tum ob ingentem numerum Barbarorum qui cum Gaina erant, tum quòd opulentissimis Orientis Provinciis & ad omnia opportunis grave periculum imminebat. Tum vero Imperator pro temporis ratione, prudenti consilio usus, arte Barbarum aggressus est. Missis itaque ad eum legatis, quovis modo, tam verbis quàm factis illum placare instituit. Cumque ille obsides sibi tradi postulasset duos ex Senatorii Ordinis primoribus Consulares viros, Saturninum & Aurelianum, quos quidem conatibus suis obsistere posse existimabat; Imperator temporis necessitati cedens, invitus eos tradidit. Et isti quidem pro Republica mortem oppetere parati, Imperatoris mandato libenter ac forti animo obtemperarunt, & procul à Chalcedone, in loco qui Hyppodromus dicitur, Barbaro obviam processerunt, parati perpeti quidquid illi placuisset. Sed illi quidem nihil perpessi sunt mali. Gaina vero simulatione utens, venit Chalcedonem. Eò quoque occurrit Imperator Arcadius. Cumque ambo, Imperator scilicet & Barbarus in Ecclesiam venissent, in qua corpus Euphemiæ

A δὲ προκόψας, τέλος στρατηλάτης ῥωμαίων ἱππικῆς τε καὶ πεζικῆς ἀναδέικνυται· ἐπιλαβόμενος δὲ τῆς τηλικαύτης δυναστείας, ἑαυτὸν οὐκ ἐγίνωσκεν, οὐδὲ τὴν ἑαυτοῦ διάνοιαν κατέχειν ἠδύνατο· ἀλλὰ πάντα λίθον, τὸ δὴ λεγόμενον, ἐκίνει, ὅπως ὑφ' ἑαυτῷ τὰ ῥωμαίων ποιήσειε· καὶ τὸ μὲν τὸ γότθων ἔθνος ἐκ τῆς αὐτοῦ χώρας μετεπέμψατο· τοὺς δὲ αὐτοῦ ἐπιτηδείους τῶν στρατιωτικῶν ἀριθμῶν, τούτους ἔχειν προ-
B εσκεύαζεν· τριβιγίλδου δὲ ἑνὸς τῶν αὐτοῦ συγγενῶν, χιλιαρχοῦντος τῶν ἱδρυμένων τῇ Φρυγίᾳ στρατιωτῶν, καὶ γνώμῃ γαΐνου νεωτερίσαντος, καὶ τὰ Φρυγῶν ἔθνη παντάπασιν ἀνατρέποντος, αὐτὸς ἐπιτραπῆναι ἑαυτῷ κατασκευάζει τὴν τῶν ἐκεῖ πραγμάτων φροντίδα· ἔπειτα ὁ βασιλεὺς ἀρκάδιος οὐδὲν πρoειδόμενος, ἑτοίμως ἐπέτρεψεν· καὶ ὃς εὐθὺς ἐπορεύετο, τῷ μὲν λόγῳ κατὰ τριβιγίλδου. τῷ δὲ ἔργῳ, τυραννῆσαι βουλόμενος· ἦγε δὲ μεθ' ἑαυτοῦ γότθων βαρβάρων οὐκ ὀλίγας μυριάδας·
C καὶ καταλαβὼν τὴν Φρυγίαν, πάντα ἀνέτρεπεν· εὐθὺς οὖν ἐν ταραχῇ ἦν τὰ ῥωμαίων, οὐ μόνον διὰ τὸ περισσὸν τοῦ γαΐνου πλῆθος βαρβάρων, ἀλλ' ὅτι καὶ τὰ πρὸς ἕω τὰ ἐπίκαιρα μέρη κινδυνεύειν ἐμελλε· τότε δὴ ὁ βασιλεὺς, γνώμῃ χρησῇ πρὸς τὸν παρόντα καιρὸν χρησάμενος, τέχνῃ μετῆλθε τὸν βάρβαρον· διαπεμψάμενος γοῦν πρὸς αὐτὸν, πᾶσι λόγοις καὶ ἔργοις θεραπεύειν ἕτοιμος ἦν· τούτου δὲ ἐξαιτοῦντος δύο τῶν πρώτων τῆς συγκλήτου ἀνδρῶν ἀπὸ ὑπάτων, οὓς ἐπενόει ἐκκόψειν αὐτοῦ
D τὰς ὁρμὰς, Σατορνῖνον καὶ αὐρηλιανὸν, ἄκων αὐτοὺς τῇ ἀνάγκῃ τοῦ καιροῦ παρέσχεν ὁ βασιλεύς· καὶ οἱ μὲν ὑπὲρ τοῦ κοινοῦ προαποθνήσκειν αἱρούμενοι, γενναίως τῇ τοῦ βασιλέως κελεύσει ὑπήκουον· καὶ πόρρω τῆς χαλκηδόνος, ἐν χωρίῳ ἱπποδρόμῳ ἀπήντων, ἕτοιμοι πάσχειν πᾶν ὅτι ὁ βάρβαρος ἤθελεν· ἀλλ' οὗτοι μὲν οὐδὲν φαῦλον ὑπέμειναν· ὁ δὲ ἀκκιζόμενος, παρῆν ἐπὶ τὴν χαλκηδόνα· ἀπήντα δὲ ἐκεῖσε καὶ βασιλεὺς ἀρκάδιος· γενόμενοί τε ἀμφότεροι ἐν τῷ μαρτυρείῳ, ἔνθα τὸ σῶμα τῆς μάρτυρος εὐφημίας

μίας ἀπόκειται), ὅρκοις ἐπιστοῦντο ἀλλήλοις ὅ τε βασιλεὺς καὶ ὁ βάρβαρος, ἦ μὴν μὴ ἐπιβουλεύσειν ἀλλήλοις· ἀλλ' ὁ μὲν βασιλεὺς εὔορκός τις ἀνὴρ καὶ διὰ τοῦτο θεοφιλής, τοῖς ὅρκοις ἐνέμεινε· Γαϊνᾶς δὲ παρεσπόνδει τε, καὶ τοῦ οἰκείου σκοποῦ οὐκ ἐξέβαινεν, ἀλλ' ἐμπρησμούς τε καὶ λαφυραγωγίας ἐμελέτα ποιήσασθαι κατά τε τῆς Κωνσταντίνου πόλεως, καὶ καθ' ὅλης εἰ δύναιτο τῆς Ῥωμαίων ἀρχῆς· βεβαρβάρωτο οὖν ἡ πόλις ὑπὸ τῶν πολλῶν μυριάδων, καὶ οἱ αὐτῆς οἰκήτορες ἐν αἰχμαλώτων μοίρᾳ ἐγίνοντο· τοσοῦτος δὲ ἦν ὁ ἐπικρεμασθεὶς τῇ πόλει κίνδυνος, ὡς καὶ κομήτην μέγιστον ἐκ τοῦ οὐρανοῦ καὶ μέχρι τῆς γῆς διήκοντα, καὶ οἷον οὐδεὶς ἐθεάσατο πρότερον, μηνύειν αὐτόν· ὁ μέντοι Γαϊνᾶς, πρῶτον μὲν ἐπειράθη ἀναιδῶς διαρπαγὴν τοῦ δημοσίου ἐν τοῖς ἐργαστηρίοις πολλοῦ μὲν ἀργυρίου ποιήσασθαι· ὡς δὲ φήμης προμηνυθείσης, ἐφυλάξαντο προθεῖναι ἐν ταῖς τραπέζαις τὸν ἄργυρον, αὖθις ἐπὶ ἑτέραν χωρεῖ βουλήν· καὶ νυκτὸς μὴν οὔσης, ἐκπέμπει πλῆθος βαρβάρων ἐπὶ τὸ ἐμπρῆσαι τὰ βασίλεια, τότε δὴ καὶ ἐδείχθη περιφανῶς, ὅπως ὁ Θεὸς πρόνοιαν ἐποιεῖτο τῆς πόλεως· ἀγγέλων γὰρ πλῆθος ὤφθη τοῖς ἐπιβουλεύουσιν, ἐν σχήματι ὁπλιτῶν, μεγάλα ἐχόντων τὰ σώματα· οὓς ὑποτοπήσαντες οἱ βάρβαροι, ἀληθῶς εἶναι στρατὸν πολὺν καὶ γενναῖον, καταπλαγέντες ὑπανεχώρησαν· ὡς δὲ ἠγγέλθη τοῦτο τῷ Γαϊνᾷ, πέρα πίστεως κατεφαίνετο· ἠπίστατο γὰρ μὴ παρεῖναι τὸ πολὺ τῶν Ῥωμαίων ὁπλιτικόν· κατὰ τὰς πόλεις γὰρ ἐνίδρυτο· πέμπει καὶ αὖθις ἑτέρους τῇ ἐχομένῃ νυκτί, καὶ μετὰ ταῦτα πολλάκις· ὡς δὲ καὶ διαφόρως ἀποστείλαντι, τὰ αὐτὰ ἀπηγγέλλετο· ἀεὶ γὰρ οἱ τοῦ Θεοῦ ἄγγελοι τὴν αὐτὴν τοῖς ἐπιβουλεύουσι παρεῖχον φαντασίαν, ἕως αὐτὸς σὺν πλήθει πολλῷ προσελθών, πεῖραν λαμβάνει τοῦ θαύματος· ὑπονοήσας δὲ ἀληθῶς στρατιωτῶν εἶναι πλῆθος, καὶ τοῦτο δι' ἡμέρας μὲν λανθάνειν, νύκτωρ δὲ πρὸς τὴν αὐτοῦ ἐπιχείρησιν ἀντέχειν, τεχνάζεται βούλησιν, ὡς μὲν ἐνόμιζεν, Ῥωμαίους βλάπτουσαν, ἐπωφελῆ δὲ ὡς ἡ ἔκβασις ἔδειξεν· ὑποκρινόμενος γὰρ δαιμονᾶν, ὡς εὐξόμενος τὸ μαρτύριον τοῦ ἀποστόλου Ἰωάννου, ἑπτὰ

A martyris reconditum est, juramentis invicem præstitis confirmarunt, neutrum alteri insidias structurum esse. Sed Imperator quidem, utpote qui sacramenti fidem religiose coleret, atque idcirco Deo acceptus esset, juramentis stetit. Gaina vero & fœdus initium violavit, & à proposito suo nullatenus destitit: nam incendia, prædasque ad direptiones, tum Constantinopoli, tum per omnes, si posset, Provincias Imperii Romani facere meditabatur. Urbs igitur regia versa erat in Barbariam, ob innumerabilem Barbarorum multi-
B tudinem: ejusque cives captivorum instar esse videbantur. Tantum porro erat periculum quod impendebat civitati, ut cometes maximus à cœlo ad terras usque pertingens, qualem nemo antea conspexerat, illud prænuntiaverit. Gaina ergo, primum quidem Argentariorum officinas in quibus moneta publice permutabatur, absque metu & verecundia diripere adortus est. Sed cum, rumore ejus rei antegresso, Argentarii sibi caventes pecuniam in mensis minime exposuissent, ad aliud consilium se convertit. Nocte
C intempesta Barbaros ad incendendum palatium mittit. Tum vero perspicue declaratum est, quantam Deus curam ac providentiam civitatis gereret. Angelorum enim multitudo visa est ab insidiatoribus, qui militum enormis staturæ speciem referrent. Quos Barbari ingentem revera ac fortem esse exercitum suspicati, stupefactique abscesserunt. Quod cum Gainæ nuntiatum fuisset, incredibile ei videbatur. Sciebat enim abesse maximam partem exercitus Romani, quippe qui per urbes Orientis distributus esset. Nocte igitur proximâ
D aliisque iterum sequentibus, alios mittit. Cum vero varios mittenti eadem renuntiarentur; Angeli enim eandem perpetuo speciem insidiantibus objecerant, tandem ipse cum ingenti multitudine progressus, spectator fit miraculi. Suspicatus itaque re ipsa militum esse multitudinem, qui interdiu quidem delitescerent, noctu vero conatibus suis obsisterent, consilium cepit, Romanis quidem, ut putabat, exitiosum; verum ut exitus docuit, perquam ipsis utile. Arrepticium se simulans, tanquam orationis causâ pergit ad Ecclesiam Joannis Apostoli, quæ septem

millibus passuum abest ab urbe. Profecti sunt unà cum illo Barbari, clam arma efferentes, quæ partim doliis occultaverant, partim aliis fraudibus ac machinamentis obtegebant. Sed cum portarum custodes, deprehenso dolo, tela exportari prohiberent, Barbari strictis gladiis custodes interfecerunt. Gravis ex eo tumultus oritur in civitate; cunctisque jam impendere mors videbatur. Verum civitas nihil tum detrimenti passa est, portis ejus undique obfirmatis. Imperator vero prudenti consilio tempestive usus, Gainam quidem hostem publicum renuntiavit; Barbaros autem qui in urbe remanserant trucidari jussit. Cumque dies elapsus fuisset, ex quo portarum custodes interfecti fuerant; milites qui aderant prælium ineunt adversus Barbaros intra portas, juxta Ecclesiam Gotthorum. Illuc enim confluxerant Barbari quotquot in civitate remanserant. Et ipsam quidem Ecclesiam incendio consumpserunt: Barbarorum vero quamplurimos obtruncarunt. Porro Gaina, cum nuntiatum ipsi fuisset, cunctos qui in urbe remanserant necatos fuisse, fraudes suas infeliciter sibi cedere animadvertens, relictâ Joannis Basilicâ in Thraciam contendit. Et cum ad Cherronesum venisset, illinc trajicere & Lampsacum occupare conatus est, ut ex eo loco Orientis partes invaderet. Cum vero Imperator statim copias terrâ marique misisset, illustre divinæ providentiæ miraculum subsecutum est. Nam dum Barbari navibus destituti, ratibus temere contextis trajicere parant, ecce subito Romanorum naves armatæ apparuerunt, & Zephyrus vehementi impetu flare cœpit. Ac Romani quidem facili navigatione utebantur. Barbari vero simul cum equis vi tempestatis in ratibus suis agitati disjectique, tandem marinis fluctibus obruti periére. Multi quoque eorum à Romanis interfecti sunt. Ad hunc modum ingens Barbarorum multitudo in trajectu interiit. Gaina vero inde regressus, cum per Thraciam fugeret, in alias Romanorum incidit copias, à quibus unà cum Barbaris qui cum ipso erant, interemptus est. Atque hæc quidem de Gaina obiter dicta sufficiant. Quod si quis cuncta quæ eo bello gesta sunt, accurate

A δὲ σημείοις ἀπέχει τοῦτο τῆς πόλεως, καταλαμ-
βάνει· συνεξῄεσαν δὲ αὐτῷ καὶ οἱ βάρβαροι, τὰ ὅ-
πλα κρυφαίως ἐξάγοντες, τοῦτο μὲν κεράμοις
καταχρύψαντες, τοῦτο δὲ καὶ ἑτέραις χρώμενοι
μηχαναῖς. ὡς δὲ οἱ φρουροὶ τῶν πυλῶν τὸν δόλον
εὑρόντες, ἐκφέρεσθαι τὰ βέλη διεκώλυον, οἱ βάρ-
βαροι τὰ ξίφη σπασάμενοι, τοὺς φρουροὺς δι-
εχρήσαντο· θόρυβός τε ἐντεῦθεν τὴν πόλιν ἐπ-
εῖχε δεινὸς, καὶ πᾶσιν ὁ θάνατος παρεῖναι ἐδόκει· ἀλλ'
ὅμως ἡ μὲν πόλις ἐν τῷ ἀσφαλεῖ τότε ἐγένε-
B το, τῶν πανταχῆ πυλῶν αὐτῆς ὠχυρωμένων. γνώ-
μῃ δὲ χρηστῇ ὁ βασιλεὺς ἐν καιρῷ ἐχρήσατο,
φανερὸν πολέμιον κηρύξας εἶναι τὸν γαϊνᾶ·
κελεύει τοὺς ὑπολειφθέντας ἐν τῇ πόλει βαρβά-
ρους ἀναιρεῖσθαι· μιᾶς τε ἐν μέσῳ μετὰ τὴν τῶν πυ-
λῶν ἀναίρεσιν διαγινομένης ἡμέρας, συμβά-
λουσιν οἱ παρόντες στρατιῶται τοῖς βαρβάροις
ἐντὸς τῶν πυλῶν, περὶ τὴν ἐκκλησίαν τῶν γό-
θων. ἐνταῦθα γὰρ πάντες οἱ ὑπολειφθέντες συν-
ῆλθον· καὶ αὐτὴν μὲν ἐμπιμπρῶσιν· ἀναι-
ροῦσι δὲ αὐτῶν σφόδρα πολλούς· ὁ γαϊνᾶς δὲ μαθ-
ὼν ἀνῃρῆσθαι τοὺς μὴ φθάσαντας ἐξελθεῖν τῶν πυ-
C λῶν, γνούς τε μηκέτι αὐτῷ προχωρεῖν τὰς ἀπά-
τας, ἄρας ἀπὸ τοῦ μαρτυρίου, ἤλαυνεν ἐπὶ τὰ
θράκια μέρη· καὶ καταλαβὼν τὴν χερρόνησον, ἐκ
αὐτῆς διαπεραιοῦσθαι, καὶ καταλαμβάνειν τὴν
λάμψακον ἐσπούδαζεν, ὅπως ἂν ἐντεῦθεν τῶν
ἑῴων μερῶν κρατῆσαι δυνήσεται· ὡς δὲ ὁ βασι-
λεὺς ἔφθη δύναμιν ἀποστείλας διά τε γῆς καὶ
θαλάσσης, ἐνταῦθα πάλιν τὸ τοῦ Θεοῦ προ-
θαυμαστὸν ἔργον ἐδείκνυτο· ὡς γὰρ οἱ βάρβαροι
ἀποροῦντες πλοίων, σχεδίας συμπήξαντες, ἐπ'
αὐτῶν ἐπεραιοῦντο, ἑτέρων ῥωμαίων στρατιω-
καὶ νῆες ὁπλιτῶν οὐδέπω παρῆσαν, ἄνεμός τε ζέφυ-
D ρος πνεῖ σφοδρός· καὶ οἱ μὲν ῥωμαῖοι ταῖς ναυ-
σὶ ῥᾳδίως διεξέπλεον· οἱ δὲ βάρβαροι ἅμα
τοῖς ἵπποις ἐν ταῖς σχεδίαις ὑπὸ τοῦ κλύδω-
ἀναρριπτούμενοι ἐξελικμῶντο, καὶ ἐν τῇ θαλάσ-
σῃ διεφθείροντο· πολλοὶ δὲ καὶ ὑπὸ τῶν ῥω-
μαίων ἀπώλλυντο· οὕτω μὲν οὖν τότε πο-
λὺ πλῆθος τῶν βαρβάρων ἐν τῷ διάπλῳ
ἀπώλετο· γαϊνᾶς δὲ ἀναζεύξας, καὶ διὰ τῆς
θρᾴκης φυγῇ χρώμενος, περιπίπτει ἑτέρᾳ
δυνάμει ῥωμαίων, καὶ ἀναιρεῖται ἅμα
τοῖς σὺν αὐτῷ βαρβάροις· καὶ ταῦτα μὲν
ἐν παραδρομῇ, περὶ γαϊνᾶ, ἀποχρώντως
λέχθω· εἰ δέ τῳ φίλον, ἀκριβῶς μαθεῖν τὰ

ἐκείνῳ τῷ πολέμῳ γεγενημένα, ἐντυγχανέτω τῇ Γαϊνίᾳ τοῦ σχολαστικοῦ Εὐσεβίου, ὃς ἐφοίτα μὲν τηνικαῦτα παρὰ Τρωΐλῳ τῷ σοφιστῇ· αὐτόπτης δὲ τοῦ πολέμου γενόμενος, ἐν τέσσαρσι βιβλίοις ἡρωϊκῷ μέτρῳ τὰ γενόμενα διηγήσατο· καὶ προσφάτων ὄντων τῶν πραγμάτων, σφόδρα ἐπὶ τοῖς ποιήμασιν ἐθαυμάσθη. καὶ νῦν δὲ ὁ ποιητὴς Ἀμμώνιος τὴν αὐτὴν ὑπόθεσιν ῥαψῳδήσας, ἐν τῇ ἑξκαιδεκάτῃ ὑπατείᾳ τοῦ νέου Θεοδοσίου, ἣν ἅμα Φαύστῳ ἐπελέλει, ἐπὶ τοῦ αὐτοκράτορος ἐπιδειξάμενος, λαμπρῶς εὐδοκίμησε. τέλος δὲ ἔσχεν ὁ πόλεμος, ἐν τῇ ὑπατείᾳ Στελίχωνος καὶ
B
Αὐρηλιανοῦ. τὴν δὲ ἑξῆς ὑπατείαν ἐδίδου Φραουΐτος, Γότθος μὲν αὐτὸς τῷ γένει, μεγάλῃ δὲ εὐνοίᾳ τῇ πρὸς Ῥωμαίους χρησάμενος, μεγάλα δὲ καὶ ἐν τῷδε τῷ πολέμῳ ἀγωνισάμενος· διὸ καὶ τῆς τοῦ ὑπάτου ἀξίας μετέσχεν, καθ' ἣν τίκτεται τῷ βασιλεῖ Ἀρκαδίῳ υἱὸς, ὁ ἀγαθὸς Θεοδόσιος, τῇ δεκάτῃ τοῦ Ἀπριλλίου μηνός. τοσαῦτα μὲν οὖν περὶ τούτων εἰρήσθω. τηλικούτων δὲ τότε καταιληφότων τὰ Ῥωμαίων πράγματα, οἱ τὴν ἱερωσύνην πεπιστευμένοι τοῦ ῥάπτειν καθ' ἑαυτῶν δόλους ἐφ' ὕβρει τοῦ Χριστιανισμοῦ οὐδαμῶς ἀπείχοντο. καὶ γὰρ ἐν τούτῳ τῷ χρόνῳ ἐπαναστάσεις ἐμελέτων
C
κατ' ἀλλήλων οἱ ἱερεῖς· ἀρχὴν δὲ τὸ κακὸν ἐκ τῆς Αἰγύπτου ἐλάμβανε, δι' αἰτίαν τοιαύτην.

A
ſcire deſiderat, is legat Gaineam Euſebii Scholaſtici, qui eo tempore Troili Sophiſtæ fuit auditor: cumq; hujus belli ſpectator fuiſſet, res in eo geſtas quatuor libris Heroico carmine ſcriptis complexus eſt: & recente adhuc rerum memoria, maximam gloriam ex carminibus retulit. Nuper quoque Ammonius Poëta, cum idem argumentum verſibus proſecutus eſſet, Theodoſio Juniore Auguſto ſedecies & Fauſto Conſulibus, carmen ſuum coram Imperatore recitavit, & ſummam ex eo laudem eſt conſequutus. Cæterum hoc bellum finem accepit Conſulatu Stilichonis & Aureliani. Sequente vero anno Conſulatum geſſit Fravitus, natione quidem & ipſe Gotthus: magna tamen fide ac benevolentia erga Romanos præditus, & qui eo bello egregiam operam navaverat, atque idcirco ad Conſulatus dignitatem promotus eſt: Quo quidem anno Imperatori Arcadio natus eſt Filius optimus Theodoſius quarto Idus Aprilis. Sed de his hactenus. Porro dum res Romana hujusmodi tempeſtatibus agitaretur, hi quibus ſacerdotii dignitas commiſſa erat, fraudes in ſuam ipſorum perniciem ſtruere non ſine magno Chriſtianæ religionis opprobrio pergebant. Eo quippe tempore Epiſcopi tumultus adverſus ſe invicem concitarunt. Quod malum ab Ægypto initium ſumpſit, hujusmodi ex cauſa.

## Κεφ. ζ.

Περὶ τοῦ γενομένου σχίσματος μεταξὺ τοῦ Ἀλεξανδρείας Θεοφίλου, καὶ τῶν μοναζόντων τῆς ἐρήμου· καὶ ὡς τὰ Ὠριγένους ὁ Θεόφιλος βιβλία ἀνεθεμάτισε.

ἮΝ μικρὸν ἔμπροσθεν ζήτησις κινηθεῖσα, πότερον ὁ Θεὸς σῶμά ἐστι, καὶ ἀνθρώπου ἔχει σχῆμα, ἢ ἀσώματός ἐστι, καὶ ἀπήλλακται ἀνθρωπίνου τε καὶ παντὸς, ἁπλῶς εἰπεῖν, σωματικοῦ σχήματος· ἐκ δὲ τούτου τοῦ ζητήματος, ἔριδες καὶ φιλονεικίαι παρὰ τοῖς πολλοῖς ἐγίνοντο· τῶν μὴν τούτῳ προστιθεμένων τῷ λόγῳ, τῶν δὲ τῷ ἑτέρῳ συνηγορούντων· καὶ μάλιστα μὴν πολλοὶ τῶν ἁπλοϊκῶν ἀσκητῶν, σωματικὸν καὶ ἀνθρωπόμορφον τὸν Θεὸν εἶναι ἐβούλοντο· πλεῖστοι δὲ τούτων καταγινώσκοντες, ἀσώματον εἶναι τὸν

## CAPUT VII.

*De diſſidio quod inter Theophilum Alexandrinum & Monachos in ſolitudine degentes exortum eſt: & quomodo Theophilus libros Origenis anathemate damnavit.*

D
MOta fuerat paulo antea quæſtio, utrum Deus corpus ſit, & humanâ figurâ præditus: an incorporeus, & alienus, non ſolum ab humana, ſed ab omni omnino corporea figura. Ex hac porro quæſtione rixæ, & contentiones inter plurimos exortæ ſunt: aliis huic ſententiæ faventibus, aliis illius patrocinium ſuſcipientibus. Ac multi quidem ex ſimplicioribus Monachis, Deum corporeum eſſe & humanâ præditum ſpecie aſſeverabant. Plures vero improbatâ iſtorum ſententiâ, incorporeum eſſe



UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN